Græce erat ἐν τοῖς κροτητοῖς, quamuis aliud sit κροτητὸν, semita scilicet plausu pedum trita & pauerata à commeantibus. Quo loco existimauit diuini viri discipulus eximius, & magistro ipso teste, melioris notæ, lilia pluribus variari colo- A ribus quàm violas: quod veritati rerum consentaneum non videtur: nam violæ præter omnes colores quos habent lilia (purpureum eximo) etiam luteæ sunt, etiam variæ ex puniceo & candido.

Κορωνὶς, καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κά.

B

Χο. ΧΑῖρε χαῖρ' ὦ φίλτατθ' ὡς
Ἀσμένοισιν ἡμῖν ἦλθες.
Σῷ γὰρ ἐδάμημεν πόθῳ,
Δαιμόνια βουλόμενοι
Εἰς ἀγρὸν ἀνερπύσαι.
Ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν
Κέρδος, ὦ ποθουμένη
Πᾶσιν, ὁπόσοι γεωργι-
κὸν βίον ἐτρίβομεν.
Μόνη γὰρ ἡμᾶς ὠφέλεις.
Πολλὰ γὰρ ἐπάσχομεν,
Πρίν ποτ' ἐπὶ σοῦ γλυκέα,
Κἀδάπανα καὶ φίλα.
Τοῖς ἀγροίκοισι γὰρ ἦσθα
Χίδρα καὶ σωτηρία,
Ὥστε σὲ τά τ' ἀμπέλια,
Καὶ τὰ νέα συκίδια,
Τἄλλα θ' ὅσ' ἐστὶ φυτὰ,
Προσγελάσεταί σε λαβόντ' ἄσμενα.
Ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον;
Ἤδη τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.

CH. *Salua Diua ô salua sis,*
*Quam lubenter intuemur,*
*Vrit enim amor nos tuus,*
*Te Dea dum cupimus*
*Dulcia reuisere*
*Arua: Te ô sperata grandi*
*Deputamus in lucro.*
*Cuncti agricolæ rustica*
C *Vita teritur quibus:*
*Iuuare sola nos soles*
*Multa solitos prius*
*Læta, sine damno, ex tua*
*Commoda manu frui.*
*Nam salutaris colonis*
*Hordei prabes vicem:*
*Atque ideò pampinea*
D *Ligna, sobolésque noua*
*Ficuum, & omne satum,*
*Te incipient ridere recepta.*
*Verùm vbi illa tamdiu absens? quâ latebat gentium?*
*Istud adiuuato Mercuri ô Deûm humanissume.*

Σχόλια. Χαῖρε χαῖρ' ὦ φίλτατε.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κά. ὧν τὰ α' ζ' ιε' τροχαϊκὰ ἑφθημιμερῆ. τὰ β' ϛ' ιδ' δίμετρα ἀκατάληκτα. τὰ γ' ή ὅμοια. ἰωνικὰ μέν τοι ἀπὸ μείζονος. τὰ δὲ θ' ιη' δακτυλικὰ πενθημιμερῆ. τὰ έ ια' ιβ' ιϛ' ιζ' παιωνικὰ δίμετρα ἀκατάληκτα. τὸ ί ὅμοιον, ἰαμβικὸν μέν τοι. τὸ ιγ' παιωνικὸν ἑφθημιμερές. τὸ ιθ' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὁ κ' κά' ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μὴ ἐπὶ τῷ τέλει τῶν μὲν τοῦ χοροῦ κορωνίς. τῆς δὲ διπλῆς ἡ ἔξω διπλῆ, ἐπὶ μέν τοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος. Ἀνερπύσαι.] ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ, τῇ γαστρὶ εἰλεῖσθαι. ὅθεν καὶ ἑρπετόν. Ἦσθα γὰρ τὸ μέγιστον] ἐπεὶ ἡ εἰρήνη πλείω πάντων τοῖς γεωργοῖς συμφέρει. Κἀδάπανα καὶ φίλα.] ἐκ τῶν ἀγρῶν γὰρ πάντα εἶχον αὐτόματα. ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. τινὲς δὲ γράφουσι μετὰ τοῦ ι. ἵνα τὸ νοούμενον ᾖ, δαπάνῃ τε τρυφῶμεν. βέλτιον δὲ χωρὶς τοῦ ι ἀναγινώσκειν, ἵν' ᾖ λέγειν μηδὲν ἀναλίσκοντες, διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν. ὅτι ἐν τῇ εἰρήνῃ πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται. Χίδρα καὶ σωτηρία.] χίδρα τὸ ἀπὸ ἐλύμου γινόμενον ὄσπριον ἔδεσμα περὶ Καρίαν. ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν, ἢ εἶδος βοτάνης. ἐκ τούτου δὲ δηλοῖ τὴν εὐτηρίαν. ἄλλως. ἐρεικτὰ ἐκ κριθῆς νέας γινόμενα.

CHRIST. Εἰς ἀγρὸν] Legerem ἀγρούς, vt sit Catalecticus Trochaicus similis primo χαῖρε χαῖρ E & altero sequenti κέρδος ὦ, &c. In proximè sequēti etiam legerem ἦσθα γὰρ μέγιστον, tolleremque τὸ, vt sit Dimeter Acatalect. Mixtus est hic Chorus ex Dimetris Catalecticis & Acatalecticis; ex Dactylicis, Ionicis à maiore & Pæonicis. Quin & Iambicum habet Dimetrum, decimum versum puta. In fine chori Anapæsticus est Dimeter: sed putarem legendum προσγελάσει τοί σε λαβόντ' &c. non autem προσγελάσεται. Χίδρα καὶ σωτηρία] Species est leguminis τὸ χίδρον, & ex F Panico cōficiebāt: fruges nouellas vel farinas ex leguminibus exponit Hesychius, qui ait σῖτος νέος φυόμενος (corrige φρυγόμενος, nā alibi vocat ἐρεγμὸν πεφρυγμένον) est enim legumē fresū ex ordeo præcipuè. Existimat Sudas dictū χίδρον ἀπὸ τοῦ χεῖσθαι, quasi terra facilè id fūdat. Ego putarē dicta χίδρα quasi χέδροπα, quia manu legātur. Legumina vel χέδροπα etiā sūt σιτώδη. Fruges summū genus est, & cętera species vel differentia. Iureconsulti quidā ad vuas frugum vocem diffuderunt, imò ad siluas G cæduas & lapidicinas, quos rectè castigat Iulian[9], qui ne pomis quidem appellationem hāc tribuit. Tamen malè frumētum definit quod arista in se teneat, vbi videtur pro spica aristā vsurpasse, non enim cuiusuis frumentacei generis spica aristosa est, deinde certum est, neque milium neque panicum, neque surgū, neque hæc χίδρα cōstare spica;